κλεῶα, ἀντὶ τοῦ κλέουσα, ἢ κλείουσα. ἀπὸ τοῦ κλέω, τὸ κλείω, ὑμνῶ, εὐφημίζω. πρεπτοῦ δὲ, σεβαστὸν, αἰδέσιμον, σεπτὸν, ὃν κλείειν, καὶ ὑμνεῖν πρέπει. Ἀμύκλαι δὲ, πόλις Λακωνικὴ τῶν ἑκατὸν πόλεων, ἣν ἔκτισεν Ἀμύκλας ὁ Λακεδαίμονος υἱός. Ἀπόλλω σιὸν, Ἀπόλλωνα θεόν. ταῦτα δὲ νοητέον οὕτω, ὦ Μοῦσα Λάκαινα ἐκλιποῦσα τὸ Ταΰγετον, δεῦρο μόλε κλέουσα, ἢ κλείουσα, ἀντὶ τοῦ κλείσουσα, καὶ ὑμνήσουσα τὸν σεβαστὸν θεὸν, Ἀπόλλωνα ἐν Ἀμύκλαις τιμώμενον. Ἄλλως. τινὲς γραπτέον νομίζουσι κλεῶν, ἀντὶ τοῦ κλεοῦν, ὅπερ εἴη ἀπαρέμφατος Δωρικῶς ἀπὸ τοῦ κλεόω, ῶ. καὶ οὕτω συντακτέον εἶναι λέγουσιν, πρεπτοῦ ἁμὶν ἐστὶ δηλονότι, κλεῶν, τουτέστι πρέπον ἡμῖν ἐστὶν, ἡμῖν πρέπει κλέειν, καὶ ὑμνεῖν τὸν θεόν. καὶ τὰ ἑξῆς.

CHR. Πρεπτοῦ ἁμὶν κλεῶνα.] Moſtella & imagines πρεπτὰ vocat Heſychius, & hîc delubrum eſſe Apollinis puto. At κλεῶνα mendoſum ſuſpicor, In editione Veneta legitur κλεῶσα, melius meo quidem iudicio, vt ſit pro κλείουσα. Idem Grammaticus exponit ψιαδεῖν, παίζειν, quod alij dicunt ἐψιάειν vel ἐψιάαδζ.

BISETVS. Καὶ χαλκίοικον Ἀθάναν.] χαλκίοικος ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ, ἢ ὅτι χαλκοῦν οἶκον εἶχεν, ἢ διὰ τοὺς Χαλκιδεῖς ἐξ Εὐβοίας φυγάδας, αὐτοῦ κτίσαι. Σουΐδας. Τυνδαρείδας δὲ, τοὺς Τυνδάρεως υἱοὺς, Κάστορα, καὶ Πολυδεύκη. ἀγασῶς δὲ, ἀγαθούς. Παρ' Εὐρώταν.] Εὐρώτας, ποταμὸς Λακωνικῆς. ψιάδδοντι δὲ, ψιάζουσι. τουτέστι περιχαρεῖς παίζουσι. ψιὰ γὰρ, χαρὰ, γελοίασμα, παιγνιά. ὅθεν τὸ ῥῆμα ψιάζω. καὶ Λακωνιστὶ ψιάδδω. Εἶα μάλα ἔμβη.] εἶα παρακελεύσεως ἐπίρρημα. Σ. ἔμβη δὲ, ἀντὶ τοῦ ἔμβηθι παρὰ τὸ ἔμβημι, τὸ εἰσέρχομαι. ἢ παρὰ τὸ ἐμβάω, ἔμβαε, ἔμβα, καὶ ἔμβη. οἱ γὰρ Δωριεῖς ἐνίοτε καὶ τὸ α εἰς η τρέπουσιν, ὡς δῆλον ἐκ τῶν σιγῆν, διψῆν, πεινῆν, ὁρῆν ἀντὶ τῶν σιγᾶν, διψᾶν, πεινᾶν, ὁρᾶν. Ὠία κοῦφα πάλλων.] βέλτιον ἴσως διωρισμένως οὕτω γράφειν, ὢ ἴα ἀντὶ τοῦ ὢ ἰαὶ, ὡς ἐν τοῖς ἄνω, ἢ, ὢ εἶα, ὡς ἐν τῇ Εἰρήνῃ γέγραπται. πάλλων δὲ, κινῶν, κραδαίνων, στρέφων. καὶ κοῦφα, ἐπιρρηματικῶς ἀντὶ τοῦ, κούφως, ἐλαφρῶς. κοῦφον δὲ, κατὰ τὸν Σουΐδαν, λέγεται τὸ ἐξ ἑαυτοῦ φερόμενον εἰς τὸν ἄνω τόπον. νῦν δὲ τούτων ὁ νοῦς τοιοῦτος εἶναι φαίνεται. πάντων ἡμῖν κατὰ γνώμην χωρούντων, εἶα, ἄγε πᾶς τις ἡμῶν ἐλθέτω, βαδιζέτω, καὶ ἀλαλάζων, καὶ κούφως παλλόμενος, κούφῳ ποδὶ φορούμενος εἰς τὴν Σπάρταν, καλῶν διαλλαγῶν τυχὼν ἐπανελθέτω, καὶ χαρᾶς ἔμπλεως ἀλαλαζέτω. διὸ καὶ ἐπιφέρει, ὢ Σπάρταν ὑμνείωμες, ἰὼ τὴν ἡμετέραν πατρίδα, τὴν Σπάρταν λέγω, χαίροντες ὑμνείωμεν, ὑμνῶμεν. Τᾶ σιῶν χοροὶ μέλοντι.] ᾗ οἱ τῶν θεῶν χοροὶ μέλουσιν. ἥπερ Σπάρτα φροντίζει τῶν χορῶν, οἳ τοῖς θεοῖς τελοῦνται. Καὶ ποδῶν κτύπος.] καὶ ᾗ μέλει ὁ ποδῶν κτύπος. αἱ χοροκτυπίαι, αἱ τῶν χορῶν ὀρχήσεις, ἐν αἷς ὁ τῶν ποδῶν κτύπος ἐξακούεται. καὶ γὰρ οἱ χορεύοντες κτύπον, καὶ ψόφον ἀποτελοῦσι. Αἵτε πῶλοι ταὶ κῶραι.] εἴπερ ἡ γραφὴ καλῶς ἔχει αἵτε νῦν ἀντὶ τοῦ ἅτε, τουτέστι καθάπερ εἰρῆσθαι λέγοις. τὸ αἱ ἀντὶ τοῦ κοινοῦ ἡ. πῶλοι δὲ, κατὰ τὸν Σουΐδαν, κυρίως τὰ γεννήματα τῶν ἵππων, καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν, καὶ κολακεύειν. Μεταφορικῶς δὲ, πῶλοι λέγονται καὶ οἱ νεανίαι καὶ νεάνιδες. ὅθεν καὶ Εὐριπίδης ἐνιαχοῦ πῶλον ἄζυγα καλεῖ, παρθένον γάμου ἄπειρον. Καὶ Ἀνακρέων, Πῶλε Θρηΐκίη, τί δή με λοξὸν ὄμμασι βλέπουσα, νηλεῶς φεύγεις; καὶ τὰ ἑξῆς. τινὲς δὲ αἵτε, ἄρθρον πληθυντικὸν μετὰ τοῦ συνδέσμου τε συνεζευγμένου ληπτέον νομίζουσι, καὶ τὸ, ταὶ κῶραι κατὰ προσθήκην ἐπιφερόμενον. ὅπερ ἴσως οὐκ ἀπίθανον. ἄλλοι δὲ, οὕτω γραπτέον οἴονται, Τοί τε πῶλοι, καὶ ταὶ κῶραι. Ἀλλ' ὁπωσοῦν ἂν εἴη, τούτων ὁ νοῦς τοιοῦτος φαίνεται, κῶραι καὶ αἱ παρθένοι, πώλων δίκην ἢ οἱ πῶλοι, τουτέστι νεανίαι, καὶ αἱ παρθένοι ἅμα χορεύοντες δηλαδὴ παρὰ τῷ Εὐρώτᾳ, πυκνῶς ποσὶν ἀναπάλλουσι, τουτέστιν ἀναπάλλονται, ἐλαφρῶς κινοῦνται, τοῖς ποσὶν ἐν τῷ χορεύειν ἀγκονεύουσαι, καὶ σπουδῇ, εἴτε ταχείᾳ καὶ συντόνῳ κινήσει χρώμεναι. ἢ ἀναπάλλουσιν, ἀναπηδῶσιν. ἀγκονεύουσαι, μετὰ σπουδῆς ἐνεργοῦσαι. παρὰ τὸν Εὐρώταν, καὶ τοῦτο Δωρικόν. τὴν γὰρ παρὰ πρόθεσιν, καὶ συμφώνου ἐπιφερομένου, οἱ Δωριεῖς συγκόπτουσιν, ὥς φησι Κόρινθος.

CHR. Εἶα μάλα ἐμβηωῒα κοῦφα πάλλων.] Puto εἶα paleas eſſe & aceres, & ἐμβηωῒα altum petentes, quod ait propter pugilum & equorum certamina, in quibus multus in cœlum attollitur puluis. Nam antiquos dixiſſe ὤϊα quæ nunc ὑπερῷα, ſcripſit Clearchus in Amatoriis (vt recenſet Athenęus) vnde Helena quę in altis ędibus educata fuit, credita eſt ex ouo genita olorino vel anſerino potius vt eſt apud eundem Dipnoſophiſtam. Dixit autem πάλλων per Enallagen numeri, nam debuit πάλλοντες. Legerem autem μέλοντι non μέλλοντι. Cui, inquit curæ chori deorum. At verò πῶλοι κόραι ſunt παρθένοι aliàs ἑταῖραι, quas ἀγκονευούσας ait, id eſt, ἐγκονεούσας, verbo ficto, à labore per puluerem, Nam vetus poeta inter exercitia Laconum ait Eurotas, puluis, labor: Ab eo verbo ἄγκονος eſt δοῦλος & ὑπηρέτης, & fortaſſis ancillari inde, quanquam alij ἀπὸ τοῦ ἀγκῶνος.

Ἀμπάλλοντι πυκνὰ ποδοῖν
Ἀγκονεῦσαι.
Ταὶ δὲ κόμαι σείονται ἅπερ Βακχᾶν
Θυρσαδδωᾶν καὶ παιδδωᾶν.
Ἁγεῖται δ' ἁ Λήδας παῖς
Ἁγνὰ χοραγὸς εὐπρεπής.
Ἀλλ' ἄγε κόμαν
Παραμπυκίδδετε.
Χερὶ ποδοῖν τε πᾶ δὴ
Ἅ τις ἔλαφος
Κρότον δ' ἅμα ποίει
Ἡ χορωφελέταν
Καὶ τὰν σιὰν δ' αὖ τὰν κρατίσταν

F *Alternante crebrò pede*
Puluerem vibrant.
His coma quaſſatur ceu Bacchis
Cum thyrſo & haſta percitis.
Dux eſt Ledæ alma proles
Præſul chori pulcherrima.
Cui coma nitet
Plicata nexibus.
G *Et manus & pes ardet*
Cerua veluti:
Sonum ſimul e-
dens terripauium,
Ipſámque diuam præpotentem